
Ἡ ΚΑΙΝΗ
ΔΙΑΘΗΚΗ
Novum
TESTAMENTUM
Typis Seminarii
Spiritus omnia scrutatur etiam

# Ἡ ΚΑΙΝΗ῾ ΔΙΑΘΗ΄ΚΗ.

# NOVUM TESTAMENTUM.

Delgado



PATAVII,

Ex Typographia Seminarii,

Apud Joannem Manfrè.

M. DCCLXXIV.

BIBLIOTECA UNIVERSITARIA SALAMANCA

# Π Ι Ν Α Ξ

## ΠΕΡΙΕ'ΧΩΝ ΤΑ'Σ Ε'Κ ΤΗ'Σ

Παλαιᾶς Διαθήκης παραληφθείσας εἰς τὴν καινὴν μαρτυρίας, ἀλλ' οὐ τὰς αὐτὰς λέξεις, μόνον δὲ τὴν αὐτὴν διάνοιαν ἐχούσας.

## G E N E S.

1. 1. Πίστει νοοῦμεν κατηρτίσθαι τοὺς αἰῶνας. *Heb.* 11. 3.
1. 1. Οὐρανοὶ ἦσαν ἔκπαλαι. 2. *Pet.* 3. 5.
1. 27. Ἀδὰμ πρῶτος ἐπλάσθη. 1. *Tim.* 2. 13.
1. 22. Οὐ γάρ ἐστιν ἀνὴρ ἐκ γυναικός. 1. *Cor.* 11. 8.
3. 4. Ὁ ὄφις Εὔαν ἐξηπάτησεν ἐν τῇ πανουργίᾳ αὐτοῦ. 2. *Cor.* 11. 3.
3. 6. Ἀδὰμ οὐκ ἠπατήθη. 1. *Tim.* 2. 14.
4. 4. Πίστει πλείονα θυσίαν Ἄβελ παρὰ Κάϊν προσήνεγκε τῷ Θεῷ. *Hebr.* 11. 4.
4. 8. Ἀπὸ τοῦ αἵματος Ἄβελ τοῦ δικαίου. *Matth.* 23. 35.
4. 8. Οὐ καθὼς Κάϊν ἐκ τοῦ πονηροῦ ἦν. 1. *Joan.* 3. 12.
4. 8. Οὐαὶ αὐτοῖς, ὅτι τῇ ὁδῷ τοῦ Κάϊν ἐπορεύθησαν. *Jude* 11.
5. 24. Πίστει Ἐνὼχ μετετέθη. *Heb.* 11. 5.
6. 3. Ὅτε ἅπαξ ἐξεδέχετο ἡ τοῦ Θεοῦ μακροθυμία. 1. *Petr.* 3. 20.
6. 13. Πίστει χρηματισθεὶς Νῶε. *Heb.* 11. 7.

# ΤΟ' ΚΑΤΑ' ΜΑΤΘΑΙ'ΟΝ

# ΕΥ'ΑΓΓΕ'ΛΙΟΝ

Κεφ. α'. 1.

1 ΒΙ'ΒΛΟΣ γενέσεως Ἰησοῦ Χριστοῦ, υἱοῦ
Δαβίδ, υἱοῦ Ἀβραάμ.
2 Ἀβραὰμ ἐγέννησε τὸν Ἰσαάκ. Ἰ-
σαὰκ δὲ ἐγέννησε τὸν Ἰακώβ. Ἰα-
κὼβ δὲ ἐγέννησε τὸν Ἰούδαν, καὶ τοὺς
ἀδελφοὺς αὐτοῦ.
3 Ἰούδας δὲ ἐγέννησε τὸν Φαρὲς, καὶ τὸν Ζαρὰ ἐκ
τῆς Θάμαρ. Φαρὲς δὲ ἐγέννησε τὸν Ἐσρώμ. Ἐσρὼμ
δὲ ἐγέννησε τὸν Ἀράμ.
4 Ἀρὰμ δὲ ἐγέννησε τὸν Ἀμιναδάβ. Ἀμιναδὰβ
δὲ ἐγέννησε τὸν Ναασσών. Ναασσὼν δὲ ἐγέννησε τὸν
Σαλμών.
5 Σαλμὼν δὲ ἐγέννησε τὸν Βοὸζ ἐκ τῆς Ῥαχάβ.
Βοὸζ δὲ ἐγέννησε τὸν Ὠβὴδ ἐκ τῆς Ῥούθ. Ὠβὴδ δὲ
ἐγέννησε τὸν Ἰεσσαί.
6 Ἰεσσαὶ δὲ ἐγέννησε τὸν Δαβὶδ τὸν βασιλέα. Δα-
βὶδ δὲ ὁ βασιλεὺς ἐγέννησε τὸν Σολομῶντα ἐκ τῆς τοῦ
Οὐρίου.
7 Σολομὼν δὲ ἐγέννησε τὸν Ῥοβοάμ. Ῥοβοὰμ δὲ
ἐγέννησε τὸν Ἀβιά. Ἀβιὰ δὲ ἐγέννησε τὸν Ἀσά.
8 Ἀσὰ δὲ ἐγέννησε τὸν Ἰωσαφάτ. Ἰωσαφὰτ δὲ
ἐγέννησε τὸν Ἰωράμ. Ἰωρὰμ δὲ ἐγέννησε τὸν Ὀζίαν.
9 Ὀζίας δὲ ἐγέννησε τὸν Ἰωάθαμ. Ἰωάθαμ δὲ
ἐγέννησε τὸν Ἄχαζ. Ἄχαζ δὲ ἐγέννησε τὸν Ἐζε-
κίαν.
10 Ἐζεκίας δὲ ἐγέννησε τὸν Μανασσῆ. Μανασσῆς
δὲ